§. 37. Die Aussprache in der Prose richtet sich nach dem Accent: das ist, in iedem Worte wird eine Sylbe, die nämlich, so den Ton hat, erhoben, und länger, als die andern ausgesprochen. Um diese Aussprache zu erleichtern, und iederzeit geschwind zu wissen, welche Sylbe den Ton habe, sollen die Accente erfunden worden seyn. Es wollen aber ausgebildete Ohren bemerket haben, daß die nach den Accenten ausgesprochene Prosa ganz erbärmlich klinge, und versichern uns, daß die ganze griechische Accentuation die allerabsurdeste Erfindung sey. Wir halten sie wenigst nicht für wichtig, und haben deßwegen auch den Schwal der Regeln die Setzung der Accente betreffend weggelassen. Anstatt aller dieser Regeln kann der den Lateinern abgeborgte Canon die prosaische Aussprache bestimmen, der wenigst, bis man einen bessern findet, der beste ist: wenn die vorletzte Sylbe der Quantität nach lang ist, so hat sie den Ton, ausser dem aber die drittletzte. Zweysylbigte Wörter haben ihn auf der ersten Sylbe. Einsylbigte Wörter hintereinander kann man in der Aussprache zusammenziehen, und selbe als ein mehrsylbigtes aussprechen.

§. 38. Die metrische Aussprache richtet sich nach der Quantität der Sylben, welche durch folgende Regeln bestimmet wird.

II. Artickel.

Allgemeine Regeln von der Quantität der Sylben.

§. 39. Ein langer Vocal oder Diphtong macht eine lange Sylbe: σηπω, οικοις.

Anm. 1. Wenn auf einen langen Vocal oder Diphtong ein Vocal folget, so wird die Sylbe communis, das ist, sie kann lang oder kurz gebraucht werden. Dieser Freyheit bedienen sie sich auch, wenn nur eine particula expletiua, als δε, τε, κε etc. dazwischen steht.

Anm. 2. Die Diphtonge αι und οι werden am Ende des Wortes vielmal kurz gebraucht; wenn schon das folgende Wort von einem Consonanten anfängt.

§. 40. Ein kurzer Vocal macht eine kurze Sylbe: als θεος, λογος.

Anm. Ein kurzer Vocal wird lang 1) am Anfange des Verses. 2) In der Cäsur, das ist, wenn in einem Worte die letzte einen kurzen Vocal habende Sylbe nicht zum vorhergehenden Fusse gehört. 3) Wenn viele kurze Sylben zusammen kommen. 4) Wenn zwey Consonanten folgen, meistens auch wenn sie schon erst

cal, selten auch nach einem Diphtong. 2) Die vielsylbigte in αια. 3) Der Nom. Accus. und Voc. dual. der ersten Declination. 4) Die Adiectiua fem. in α purum, deren masculina im Gen. sing. am Ende lang sind, ausser ποτνια, δια und σεβασμια. 5) Die Aduerbia in αν. 6) Die Endsylbe αρ, ausgenommen γαρ. 7) Die Participia und Nomina masculina in ας der dritten Declination: wie auch der Nom. Gen. und im plur. der Accus. der ersten Declination in ας. Doch wird der letzte ionisch und dorisch kurz gebraucht.

§. 47. In der vorletzten Sylbe haben ein langes α 1) die gentilia, und nicht zusammengesetzte propria, wie auch die Namen der Steine und Flüße in ατης und ατις: wenige ausgenommen. 2) Die Nomina in αων, die im Gen. ονος haben. 3) Die zwey- und auch die mehrsylbigte in ρος, wenn die dritletzte auch lang ist. 4) Die Nomina in ανος, sonderlich wenn ein Iota vorgeht. 5) Der Genit. aeolicus in αο und αων. 6) Die Zeitwörter in αω, wenn ein Vocal oder ρ vorgeht nicht nur im prät. und fut., sondern auch in den davon herstammenden Nominibus. 7) Der Ausgang ασι bey den Zeitwörtern. 8) Die Participia fem. in ασα.

§. 48.

§. 48. In der dritletzten Sylbe, und noch weiter zurück haben ein langes α 1) die vielsylbigten Wörter, sonderlich mit dem α priuatiuo wegen den vielen kurzen Vocalen, da sonst dieses α an sich kurz ist. 2) Die Nomina in αvιος von denen in αv. 3) Die Wörter, in welchen nach dem α ein ο, ω oder ω folgt. 4) Die Zahlwörter auf ακοσιοι.

§. 49. Ein langes Jota haben in der letzten Sylbe 1) die Nomina, so ιν und ις zugleich haben. 2) Die Pronomina und Aduerbia mit dem überflüßigen Jota: als ὅτοσι, νυνι. 3) Die sich nach der attischen Mundart in Jota enden, welches aus α, ε oder ο entstanden.

§. 50. In der vorletzten Sylbe haben ein langes Jota 1) die casus obliqui von denen in ιν und ις zugleich, wie auch von den einsylbigten in ις. 2) Die casus obliqui in ιθος, und auch einige in ιδος. 3) Die auf ινη, einige auf ιτις und die vielsylbigten auf ιτης und ιτη. 4) Die vielsylbigten Substantiua auf ivος und ivον, wenige ausgenommen, und die auf ιων. 5) Die Zeitwörter in ιθω, und die futura in ισω von ιω nebst den davon gemachten temporibus. 6) Wenn unmittelbar ein ρ darauf folget.

§. 51. In der dritletzten Sylbe haben ein langes Iota 1) die casus obliqui in ιονος von ιων, ausser die comparatiui. 2) Wenn unmittelbar ein ρ darauf folget.

§. 52. Ein langes υ haben in der letzten Sylbe 1) die Nomina, welche υς und υν zugleich haben, und einige in υς, υος. 2) Die Participia masculina, die dritte Person des Präs., die erste und dritte Person des Imperf. der Zeitwörter in υμι: als δειχνυς, δειχνυ für δειχνυσι; εφυν, εφυ.

§. 53. In der vorletzten Sylbe haben ein langes υ 1) die Nomina, wie auch die tempora der Zeitwörter, wenn auf das υ ein σ folgt; ausgenommen die zweyte Person des prät. pass. sammt den davon hergeleiteten Wörtern. 2) Die Substantiua in ινος, wie auch die obliqui in υνος von dem langen Nominat. υς und υν. 3) Einige Nomina in υρος. 4) Die zweysylbigte in υνη und υμος, ausgenommen γυνη. 5) Die Pronomina ὑμεις, ὑμων etc. 6) Die casus obliqui υκος und υπος von υξ, und υψ; doch sind sehr viele ausgenommen. 7) Die Verba in υχω, und die actiua in υμι. 8) Die zweysylbigte Zeitwörter in υω; wie auch einige mehr-

syl-

sylbigte, wenn die dritletzte lang ist. 9) Einige Abstämmlinge von ξυν für συν.

§. 54. In der dritletzten Sylbe haben ein langes υ 1) die Wörter, so nach dem υ ein σ haben. 2) Einige zusammengesetzte von πυρ und λυσις und ξυν.

§. 55. Die bisher gegebenen Regeln begreiffen zwar nicht alles, doch gewiß soviel, als zu unserm Zwecke (Verse zu lesen, nicht selbst zu machen) nöthig ist, und also genug.

IV. Artickel.

Von den Gattungen der Verse.

§. 56. Was ein Fuß und Vers sey, und wie diese nach ienen abgemessen werden, ist aus dem Lateinischen bekannt. Auch die verschiedenen Gattungen der Verse kommen mit den von den Lateinern gebrauchten überein. Nur folgende Abweichungen sind zu merken.

1) Selten verschlingen die Griechen den Endvocal des vorhergehenden Wortes, wenn schon das nächste folgende mit einem Vocale anfängt. 2) Der fünfte Fuß im Hexameter ist bey den Griechen viel öfter ein Spondaeus als bey den Lateinern. 3)

Den

Den Pentameter enden sie gewöhnlich mit drey- und viersylbigten Worten; machen auch die erste Cäsur kurz, und enden die Construction nicht mit dem Verse. 4) Sie theilen oft das Wort, und setzen eine oder mehr Sylben davon zum Anfange des folgenden Verses. 5) Es kommen oft Verse vor, die keine Cäsur haben. 6) Bey Abmessung der Verse machen sie oft aus zwo Sylben eine: als τᾶ κἔκο-ρεσσἄμἔνος νῖκἔα, κἄι δῆρῐ᾽ν ὄφἔλλος. Welches sie συναλοιφη heißen.

Zugabe.

Von den Figuren der Grammatick, die bey den Poeten am meisten vorkommen.

Eine Figur ist eine Veränderung, die von den gemeinen Regeln der Sprachlehre abweichet. Man kann selbe in die orthographischen, etymologischen, syntactischen und prosodischen eintheilen. Das meiste hievon ist schon hin und wieder, besonders bey den Dialecten angemerket worden: das übrige folgt hier.

Επενθεσις, wenn in der Mitte ein Buchstab, oder eine Sylbe hineingesetzet wird: als ἥελιος für ἥλιος; εσητυμος für ετυμος.

Συγ-

Συγκοπη, Wenn in der Mitte ein Buchstab, oder eine Sylbe weggenommen wird: als καλιον für καλλιον; ἑυραμην für ἑυρησαμην; εγενατο für εγενησατο. Selten werden zwo Sylben weggenommen: als πεπρωται für πεπερατωται.

Παραγωγη, wenn am Ende des Wortes ein Buchstab, oder eine Sylbe hinzugesetzet wird: hieher gehört besonders der poetische Zusatz Φι und Φιν zu den Wörtern der ersten und zweyten Declination, wornach sie nicht weiter abgeändert werden: als βιηΦι für βια; κρατοΦι für κρατος; οκεοΦι für οκεον.

Αποκοπη, wenn am Ende ein Buchstab, oder eine Sylbe weggeworfen wird: dieses thun die Poeten besonders gern 1) bey dem Nominat. in α und η: als γλην für γληνη. 2) in ον: als γλαΦυ für γλαΦυρον. 3) Bey dem Nom. Gen. und Accus. der dritten Declination: als δω für δωμα; ποσειδω für ποσειδωνα; Αϊαν oder Αϊα für Αϊαντος; δαϊ, Θετι, μασι für δαϊδι, Θετιδι, μασιγι

Μεταθεσις, wenn die Buchstaben untereinander versetzet werden: als ερξω für ρεξω; επραθον für επαρθον von περθω; εδρακον von δερκω; καρτος für κρατος.

Τμησις, wenn ein Wort in zwey Stücke getheilet wird: als ακρα πολυς für ακροπολυς; κατα γαια καλυψεν für κατεκαλυψε γαια.

Κρασις ist die gewöhnliche Contraction von zween Vocalen in einen, welche die Poeten und Dorer auch so brauchen, daß sie aus zwey Worten eins machen: als κημε für και εμε; κηυ für και ευ; ωνθρωπε für ω ανθρωπε; κωμος für και εμος; χη für και ή; κᾳξ für και εξ; τωϛεα für τα οϛεα.

Περιφρασις, wenn ein Wort zierlich mit mehrern umschrieben wird: als βιη πριαμοιο für πριαμος; ιατρων παιδες für ιατροι, Χρημα βοσκηματων für βοσκηματα.

Grie-

Griechische Stellen zur Uebung in den Dialecten.

ΚΕΦΑΛΑΙΟΝ α.

Εις την αττικην διαλεκτον.

§. α.

Εκ των τϑ ἁγιϑ Βασιλειϑ περι του αναγινωσκειν τα των Ποιητων.

Ἡμεις, ω νεανισκοι, ουδεν ειναι χρημα a) παντα πασι τον ανϑρωπινον βιον τουτον ὑπολαμβανομεν, ουτ' αγαϑον τι νομιζομεν ὁλως, ουτ' ονομαζομεν, ὁ την συντελειαν ἡμιν αχρι του b) παρεχεται. Ουκ ουν προγονων περιφανειαν, ουκ ισχυν σωματος, ου μεγεϑος, ου τας παρα παντων ανϑρωπων τιμας, ου βασιλειαν αυ-

a) Ουδεν χρημα, nichts. b) Αχρι τϑτϑ, nämlich βιϑ, nur für dieses Leben.

την, ουχ ὁ, τι αν ειποι τις των ανθρωπινων, μεγα, αλλ' ουδε ευχης αξιον κρινομεν, η τους εχοντας c) αποβλεπομεν· αλλ' επι μακροτερον προϊμεν ταις ελπισι, και προς ἑτερου βιου παρασκευην ἁπαντα πραττομεν. Α᾽ μεν ουν συντελη προς τουτον ἡμιν, αγαπαν τε και διωκειν παντι σθενει χρηναι φαμεν. Τα δε ουκ εξικνουμενα προς εκεινον, ὡς ουδενος αξια, παροραν. Η που καθαπερ Φυτου οικεια μεν αρετη τῳ καρπῳ βρυειν ὡραιῳ, φερει δε τινα κοσμον, και Φυλλα τοις κλαδοις περισειομενα d). Ο᾽υτω δη και ψυχης προηγουμενως μεν καρπος, ἡ αληθεια, ουκ αχαριγε μην e) ουδε την θυραθεν σοφιαν

παρι-

---

c) Τας εχοντας, nämlich ταυτα, die eben erwähnten Sachen. d) Τοις κλαδοις περισειομενα, welche ſich um die Aeſte herum bewegen, und erſchüttern. Die Präpoſition, ſo beym Zeitwort ſteht, wird beym Nennworte nicht nochmal geſetzet. Die Verba paſſiua, und beſonders die media müſſen oft als reciproca erkläret werden. e) Ουκ αχαριγε μην, ουδε etc. Doch iſt es in der That nicht unangenehm, daß ſie auch mit auswärtiger Weisheit gleichſam als mit einigen Blättern ꝛc. ουδε iſt die bey den Griechen ſehr gewöhnliche zweyfache Verneinung, und muß hier durch auch erkläret werden. Au-

την

περιβεβλησθαι διον τινα φυλλα, σκεπην τε τῳ καρπῳ και οψιν ουκ αωρον παρεχομενα. Λεγεται τοινυν και Μωϋσης εκεινος ὁ πανυ f), δυ μεγιστον εστιν επι σοφιᾳ παρα πασιν ανθρωποις ονομα, τοις αιγυπτιων μαθημασιν εγγυμνασαμενος την διανοιαν, ὁυτω προσελθειν τῃ θεωριᾳ του οντος g). Παραπλησιως δε τουτῳ, κἀν τοις κατω χρονοις τον σοφον Δανιηλ επι Βαβυλωνος φασι, την σοφιαν χαλδαιων καταμαθοντα, τοτε των θειων ἁψασθαι παιδευματων. Αλλ' ὁτι μεν ουκ αχρηστον ψυχαις μαθηματα τα εξωθεν δῃ ταυτα, ἱκανως ειρηται.

τηv der Accuſ. des Infin. iſt da, wie an vielen andern Orten ausgelaſſen. Σοφιαv iſt der Accuſ. des Zeitworts, wie im lateiniſchen induor veſtem. Θυραθεv, von auſſen her, iſt ein aduerbium loci. S. im 1. Anhang §. 4. n. IX. muß aber hier als ein Adiect. erklaret werden. S. Synt. von dem Geſchlechtsworte. Ὁιον iſt das Adiectiuum neut. für das Aduerb. S. Synt. f) Ὁ πανυ S. Synt. vom Geſchlechtsworte: περιβοητος wird verſtanden. g) τȣ ὀντος, Gottes, ὁ ωv κατ' εξοχηv, und παρ' ἑαυτȣ.

Ὁπως γε μην αυτων μεθεκτεον ὑμιν, ἑξης h) αν' ειη λεγειν. Πρωτον μεν ουν i) τοις παρα των ποιητων k), ἱν' εντευθεν αρξωμαι, επει παντοδαποι τινες εισι, μη πασιν εφ' ἑξης προσεχειν τον νουν. Αλλ' ὁταν μεν τας των αγαθων ανδρων πραξεις, η λογους ὑμιν διεξιωσιν, αγαπᾳν τε και ζηλουν, και ὁτι μαλιστα πειρασθαι τοιουτους ειναι. Ὁταν δε επι μοχθηρους ανδρας ελθωσι, μιμησει ταυτῃ l) δει φευγειν m) επιφρασσομενους τα ωτα, ουχ ἡττον, η τον Οδυσσεα φασιν εκεινοι τα των σειρηνων μελη. Η' γαρ προς τους φαυλους των λογων συνηθεια, ὁδος τις εστιν επι τα πραγματα, διο δη πασῃ φυλακῃ την ψυχην τηρητεον, μη δια της των λογων ἡδονης παραδεξαμενοι τι λαθωμεν των χειρονων n), ὡσ-

h) Ἑξης wird zwar gemeiniglich für ein Aduerbium gehalten, iſt aber der Gen. von ἑξη Reihe, Ordnung, und κατ', oder εφ' wird darunter verſtanden. i) πρωτον μεν ουν etc. επι wird verſtanden. k) τοις παρα των ποιητων etc. συγγραμμασι wird verſtanden. l) μιμησει ταυτῃ; επι μιμησει etc. m) δει φευγειν, geziemt ſich, daß ihr fliehet, fugere vos oportet: der Accuſ. iſt abermal auszugelaſſen. n) παραδεξαμενοι τι λαθωμεν των χειρονων anſtatt λαθοντες παραδεξωμεν τι των etc. S. 2. Anh. §. 36. n. 6.

ωσπερ οι τα δηλητηρια μετα του μελιτος προσιεμενοι.

Ου τοινυν επαινεσομεθα, ου τους ποιητας, ου λοιδορουμενους, ου σκωπτοντας, ουκ ερωντας η μεθυοντας μιμουμενους. Ουχ οταν τραπεζη πληθουση, και ωδαις ανειμεναις την ευδαιμονιαν ὁριζονται. Παντων δε ἡκιστα περι θεων τι διαλεγομενοις προσεξωμεν, και μαλιστα, ὁταν ὡς περι πολλων τε αυτων διεξιωσι, και τουτων ουδε ὁμονοουντων· αδελφος γαρ δη παρ᾽ εκεινοις διαστασιαζει προς αδελφον, και γονευς προς παιδας, και τουτοις αυθις προς τους τεκοντας πολεμος εστιν ακηρυκτος. μοιχειας δε θεων, και ερωτας, και μιξεις αναφανδον, και ταυτας γε μαλιστα του κορυφαιου παντων και ὑπατου Διος, ὡς αυτοι λεγουσι, ἁς καν περι δοσκηματων τις λεγων ερυθριασειε o), τοις επι σκηνης p) καταλειψωμεν.

Ταυτα δη λεγειν και περι συγγραφεων εχω, και μαλισθ᾽ ὁταν ψυχαγωγιας ἑνεκα των ακουοντων λογοποιωσι· και ῥητορων δε την περι

o) Ερυθριασειε Aor. 1. opt. att. und äol. S. 2. Anh. §. 28. p) τοις επι σκηνης nämlich ανθρωποις. S. Synt. von der Präp. επι.

το ψευδεσθαι τεχνην ου μιμησομεθα· Ουτε γαρ εν δικαστηριοις, ου τ' εν ταις αλλαις πραξεσιν επιτηδειον ὑμιν το ψευδος, τοις την ορθην ὁδον, και αληθη προελομενοις τυ βιυ, ὁις το μη δικαζεσθαι νομῳ προστεταγμενον εστιν. Αλλ' εκεινα αυτων μαλλον αποδεξωμεθα, εν ὁις αρετην επηνεσαν, η πονηριαν διεβαλον.

Ὡ̓ς γαρ των ανθεων τοις μεν ανθρωποις αχρι της ευωδιας η της χροας εστιν ἡ απολαυσις, ταις μελιτταις δ' αρα και μελι λαμβανειν απ' αυτων ὑπαρχει. Ὀυτω δη κἀνταυθα q) τοις μη το ἡδυ και επιχαριμονον των τοιυτων λογων διωκυσιν, εστι τινα και ωφελειαν απ' αυτων εις την ψυχην αποθεσθαι. Κατα πασαν δη υν των μελιττων τον εικονα των λογων ὑμιν μεθεκτεον· εκειναι γαρ υτε ἁπασι τοις ανθεσι παραπλησιως επερχονται, υτε μην, ὁις αν επιπτωσιν, ὁλα φερειν επιχειρυσιν, αλλ', ὁσον αυτων επιτηδειον προς την εργασιαν λαβυσαι, το λοιπον χαιρειν αφηκαν· r) ἡμεις τε ην σοφρονωμεν, ὁσον οικειον ἡμιν, και συγγενες τη αληθειᾳ, παρ' αυτων κομι-

q) Κἀνταυθα aus και ενταυθα. r) χαιρειν αφηκαν, das übrige laſſen ſie ſtehen, wollen nichts damit zu thun haben: wie im lateiniſchen valedico, valere iubeo.

κομισαμενοι ὑπερβησομεθα το λειπομενον. Η τι ποτε αλλο διανοηθεντα τον Ἡσιοδον ὑπολαμβωμεν ταυτι s) ποιησαι τα επη, ἁ παντες ᾄδουσιν, η ουχι προτρεποντα t) τους νεους επ᾽ αρετην; ὁτι τραχεια μεν πρωτον και δυσβατος, και ἱδρωτος συχνου και πονου πλιρης, ἡ προς αρετην Φερουσα, και αναντης ὁδος· διοπερ ουτε παντος, ουτε προσβηναι αυτῃ το ορθιον, ουτε προσβαντι ῥαδιως επι το ακρον ελθειν, ανω δε γενομενῳ ὁρᾳν ὑπαρχει, ὡς μεν λειαι τε και καλη.

Και μεντοι και ειτις ἑτερος εοικοτα u) τουτοις την αρετην ὑμνησεν, εις τουτον w) ἡμιν Φερουντας τους λογους αποδεχωμεθα.

Ὡς ἑγω τινος ηκουσα δεινου καταμαθειν x) ανδρος ποιητου διανοιαν. Πασα μεν ἡ ποιησις τῳ

s) Ταυτι attiſch für ταυτα. S. 2. Anh. §. 25.
t) η ουχι ωροτρεωοντα etc. διδαξαι ὑωολαβωμεν muß in der Erklärung dazu geſetzet werden. u) εοικοτα iſt das part. prät. med. im Accuſ. plur. neut. hier für das Aduerbium geſetzet. Das ε iſt die attiſche Vermehrung. S. 2. Anh. §. 27. n. 3. w) εις τουτον für εις τουτο. S. 2. Anh. §. 25. Η᾽μιν iſt der Dat. von Φεροντας, welches für συμΦεροντας geſetzet iſt. x) καταμαθειν der Accuſ. αυτον geht ab.

Ὁμηρῳ αρετης εστιν επαινος, και παντα αυτῳ προς τυτο Φερει, ὁ, τι μη παρεργον.

Ουχ ἡκιστα δε εν δις τον στρατηγον Κεφαλ-
ληνων πεποιηκε γυμνον, εκ τυ ναυαγιυ περι-
σωθεντα, πρωτον μεν αιδεσαι την Βασιλιδα Φα-
νεντα μονον. Τοσυτυ δειν αισχυνην οφλησαι y)
γυμνον οφθεντα μονον, επειδη περ αυτον αρετη
αντι ἱματιων κεκοσμημενον εποιησε. Επειτα μεν
τοι και τοις λοιποις Φαιαξι τοσυτυ z) αξιον νο-
μισθηναι, ὡστε αφεντας την τρυφην, ἡ συνε-
ζων, εκεινον αποβλεπειν και ζηλυν ἁπαντας, και
μηδενα Φαιακων εν τῳ τοτε aa) ειναι αλλοτι αν
ευξεσθαι μαλλον, η Οδυσσεα γενεσθαι, και
ταυτα εκ ναυαγιυ περισωθεντα. Εν τυτοις γαρ
ελεγεν ὁ τυ ποιητυ της διανοιας εξηγητης, μονο-
νυχι bb) βοωντα λεγειν τον Ὁμηρον· ὁτι αρετης
ὑμιν επιμελητεον, ω ανθρωποι, ἡ και ναυαγη-
σαντι συνεκνηχεται. και επι της χερσυ γενομε-
νον

y) Τοσουτου δειν αισχυνην οφλησαι, ſo weit war man entfernet ihn zu verſpotten; tantum abeſt, vt ludibrium ipſis debuerit. Πεποιηκε muß immer herabgezogen werden. z) τοσουτου wird αξιωματος verſtanden. aa) εν τω τοτε wird χρονῳ verſtanden; tunc temris. bb) μονονουχι, tantum non.

νον γυμνον τιμιωτερον αποδειξι των ευδαιμονων Φαιακων. και γαρ ὁτως εχει. τα μεν αλλα των κτηματων ϑ μαλλον των εχοντων cc). η και ὁτινοσϑν των επιτυχοντων εστιν, ὡσπερ εν παιδιᾳ κυβων τηδε κᾳκεισε dd) μεταβαλλομενα. μονη δε κτηματων ἡ αρετη αναφαιρετον, και ζωντι, και τελευτησαντι παραμενϑσα. ὁϑεν δη και Σολων μοι δοκει προς τϑς ευπορϑς ειπειν. Αλλ' ἡμεις αυτοις ee) ϑ διαμειψομεϑα της αρετης τον πλϑτον. επει το μεν εμπεδον αιει. χρηματα δ' ανϑρωπων αλλοτε αλλος εχει. Παραπλησια δε τϑτοις και τα Θεογνιδος ff). Επει τογε λαμπρως μεν επαινεσαι την αρετην εις το μεσον gg), και μαχρϑς ὑπερ αυτης αποτεινειν λογϑς, ιδιᾳ hh) δε το ἡδυ προ της σωφροσυνης, και το πλεον εχειν προ του δικαιου τιμᾳν, εοικεναι Φαιην αν εγω γε

τοις

---

cc) Των εχοντων wird εϛι verſtanden. Gehören ienen, die ſie beſitzen, nicht mehr zu, als einem ieden andern, der ꝛc. dd) τηδε, κᾳκεισε, hin und her, huc illuc; ὁδω wird verſtanden; κᾳκεισε iſt aus και und εκεισε zuſammengeſetzet. S. auch den 1. Anh. §. 4. n. 9. ee) αλλ ἡμεις αυτοις - συναυτοις. της αρετης - αντι της αρετης. ff) τα Θεογνιδος nämlich εϖη. gg) εις το μεσον, offentlich. S. den Synt. von dem Adverb. hh) ιδιᾳ - εν ιδιᾳ χωρᾳ oder οικιᾳ, für ſich ſelbſt, daheim.

τοις επι σκηνης ὑποκρινομενοις τα δραματα, ὁι ὡς βασιλεις, και δυνασται πολλακις εισερχονται, ουτε βασιλεις οντες ουτε δυνασται, ουδε μεν ουν τυχον ελευθεροι το παραπαν. Αλλ' ὁυτος εστιν ὁ εσχατος της αδικιας ὁρος, ειτι δει Πλατωνι πειθεσθαι, το δοκειν δικαιον ειναι, μη ονται.

Επαναγωμεν δε τον λογον αυθις προς τα των σπουδαιων πραξεων παραδειγματα.

Ετυπτε τις τον Σωφρονισκου Σωκρατην εις αυτο το προσωπον εμπεσων αφειδως. Ὁ δε ουκ αντηρεν, αλλα παρειχε τῳ παροινουντι της ὀργης εμφορεισθαι, ὡστε εξοιδειν ηδη, και ὑπουλον αυτῳ το προσωπον ὑπο των πληγων ειναι. ὡς δε επαυσατο τυπτων, αλλο μεν ουδεν ὁ Σωκρατης ποιησαι, επιγραψαι δε τῳ μετωπῳ λεγεται ὡσπερ ανδριαντι τον δημιουργον· ὁ δεινα εποιει, και τοσουτου αμυνασθαι. Ταυτα σχεδον εις τ' αυτον τοις ἡμετεροις Φεροντα, πολλου αξιον ειναι μιμησασθαι τους τηλικουτους φημι. Τουτι μεν γαρ του Σωκρατους αδελφον εκεινῳ τῳ παραγγελματι, ὁτι τῳ τυπτοντι κατα της σιαγονος, και την ἑτεραν παρεχειν προσηκε, τοσουτον δειν παραμυνασθαι. Τοδε του Κλεινιου,

του

του Πυθαγορου γνωριμων ένος, χαλεπον πιστευσαι απο ταυτοματου συμβήναι τοις ήμετεροις, αλλ' ουχι μιμησαμενοις σπουδη ii). Τι δε ην, ὁ εποιησεν εκεινος; εξον δι' ὁρκου τριων ταλαντων ζημιαν αποφυγειν, ὁδε απετισε μαλλον η ωμοσε, και ταυτα ευορκειν μελλων, ακουσας εμοι δοκειν kk) του προσταγματος, τον ὁρκον ήμιν απαγορευοντος.

Αλλα ταυτα μενπου κάν ll) τοις ήμετεροις λογοις τελειοτερον μαθησομεθα. Ὁσον δε σκιαγραφιαν τινα τογε νυν ειναι mm) εκ των εξωθεν παιδευματων περιγραψομεθα. Τοις γαρ επιμελως εξ ἑκαστυ την ωφελειαν αθροιζουσιν, ώσπερ τοις μεγαλοις των ποταμων, πολλαι γινεσθαι πολλαχοθεν αι προσθηκαι πεφυκασιν nn).

το

---

ii) Τοις ήμετεροις wird παραγγελμασι verſtanden. αλλ' ουχι μιμησαμενοις τα ήμετερα σπουδη, es iſt hart zu glauben, daß das ſo von ungefähr unſern Gebothen gemäß geweſen ſey, und nicht vielmehr mit Fleiß ſey darnach gerichtet worden. kk) εμοι δοκειν - κατ' εμοι δοκειν. ll) κάν - και εν. mm) τογε νυν ειναι - κατα τογε νυν ειναι, itzt will ich nur gleichſam einen Abriß davon aus den auswärtigen ꝛc. nn) πεφυκασι, pflegen; wie im lateiniſchen natum eſt, natura comparatum eſt,

το γαρ σμικρον επι σμικρῳ κατατιθεσθαι, ε μαλλον εις αργυριε προσθηκην, η και εις ἡντινα εν επιστημην ορθως ἡγεισθαι εχειν τῳ ποιητῃ προσηκεν οο).

§. β.

Εκ της του Ξενοφωντος Κυρου παιδειας.

ΚΥΡΟΣ μεχρι δωδεκα ετων η ολιγῳ πλειον τῃ παιδειᾳ των Περσων επαιδευθη, και παντων των ἡλικων διαφερων a) εφαινετο και εις b) το ταχυ μανθανειν, ἁ δεοι c), και εις το καλως και ανδρειως ἑκαστα ποιειν. Εκ δε τυτυ τυ χρονυ μετεπεμψατο Αστυαγης την ἑαυτυ θυγατερα και τον παιδα αυτης· ιδειν γαρ επεθυμει, ὁτι ηκουε, καλον καγαθον αυτον ειναι. Ερχεται δαυτη τε ἡ Μανδανη (θυγατηρ Αστυαγυς) προς τον πατερα και τον Κυρον τον υἱον εχυσα. Ως δε αφικετο ταχιστα d), και εγνω ὁ Κυρος τον Αστυαγην της μητρος πατερα οντα, ευθυς, οἱα

δη

οο) Ορθως ἡγεισθαι εχειν τῳ ποιητῃ προσηκεν - ορθως εχειν τῳ ποιητῃ προσηκεν ἡγεισθαι.

a) Schien alle ſeines Alters zu übertreffen. b) εις für εν τῳ μανθανειν. c) was ſich geziemen wollte. d) ſobald er aber angekommen.

δη παις Φιλοστοργος ων Φυσει e), ησπαζετο τε αυτον, ωσπερ αν ει τις παλαι συντεθραμμενος και παλαι Φιλων ασπαζοιτο. Και δρων δη αυτον κεκοσμημενον και οφθαλμων ὑπογραφη και χρωματος εντριψει και κομαις προσθετοις, ἁ δη νομιμα ην εν Μηδοις (ταυτα γαρ παντα μηδικα εστι και οἱ πορφυροι χιτωνες, και οἱ κανδυες, και οἱ στρεπλοι περι τη δερη, και τα ψελλια περι ταιν χεροιν f)· εν Περσαις δε, τοις οικοι, και νυν ετι πολυ και εσθητες Φαυλοτεραι και διαιται ευτελεστεραι) Ὁρων δε τον κοσμον τε παππε εμβλεπων αυτῳ, ελεγεν, ω μητερ, ὡς καλος μοι ὁ παππος. Ερωτωσης δε της μητρος αυτον, ποτερος δοκει καλλιων αυτῳ ειναι, ὁ πατηρ, η ουτος; απεκρινατο αρα ὁ Κυρος, ω μητερ, Περσων μεν πολυ καλλιστος ὁ εμος πατηρ, Μηδων μεντοι, ὁσων ἑωρακα g) εγω και εν ταις ὁδοις και επι θυραις, πολυ ουτος ὁ εμος παππος καλλιστος.

Ανταστασπαζομενος δε αυτον ὁ Αστυαγης, και στολην καλην ενεδυσε, και στρεπλοις και ψελλιοις

---

e) Ὁ῾ια von διος für ὡσπερ, wie er dann ein Knabe war, der ꝛc. f) der Dat. dual. vom poetiſchen Gen. χερος für χειρος. g) ὁσων ἑωρακα attiſch für ὁσους ὡρακα.

λιοις ετιμα, και εκοσμει, και ειπε εξελαυνοι h), εφ' ἱππου χρυσοχαλινε περιηγεν, ὡσπερ και αυτος ειωθει πορευεσθαι. Ο δε Κυρος, ἁτε i) παις ων και φιλοχαλος και φιλοτιμος, ἡδετο τῃ στολῃ, και ἱππευειν μανθανων ὑπερεχαιρεν. Εν Περσαις γαρ, δια το χαλεπον ειναι και τρεφειν ἱππους, και ἱππευειν εν ορεινῃ ουσῃ τῃ χωρᾳ k), και ιδειν ἱππον πανυ σπανιον ην. Δειπνων δε ὁ Αστυαγης συν τῃ θυγατρι και τῳ Κυρῳ, βαλλομενος τον παιδα ὡς ἡδιστα l) δειπνειν, ἱνα ἡσσον τα οικαδε ποθοιη, προσηγαγεν αυτῳ και παροψιδας, και παντοδαπα εμβαμματα και βρωματα. Τον δε Κυρον εφασαν λεγειν, ω παππε, ὁσα πραγματα εχεις εν τῳ δειπνῳ m), ει αναγκη σοι, επι παντα τα λεκανια ταυτα διατεινειν τας χειρας, και απογενεσθαι τουτων των παντοδαπων βρωματων; Τι δε; φαναι n) τον Αστυαγην, ου γαρ πολυ σοι δοκει καλλιον τοδε

το

h) Wenn er irgendwo ausritt. i) ἁτε - καθ' ἁτε, ſoviel als oben οἱα. k) in einer Landſchaft, welche bergicht war. l) ὡς ἡδιστα, quam iucundiſſime. m) wie ſehr viel Geſchäfte haſt du beym Abendeſſen? n) da, und in dem folgenden muß oft λεγεται verſtanden werden.

το δειπνον ειναι τε ο) εν Περσαις; τονδε Κυρον προς ταυτα αποκρινασθαι λεγεται, Ουχι, ω παππε, αλλα πολυ απλεστερα και ευθυτερα παρ ήμιν ή όδος εστιν επι το εμπλησθηναι, η παρ ύμιν· ήμας μεν γαρ αρτος και κρεας εις τετο αγει· ύμεις δε εις μεν το αυτο ήμιν p) σπευδετε, πολλους δε τινας έλιγμες q) ανω και κατω πλανωμενοι, μολις αφικνεισθε, όποι ήμεις παλαι ήκομεν. Αλλ' ω παι, φαναι τον Αστυαγην, εκ αχθομενοι ταυτα περιπλανωμεθα· γευομενος δ', εφη, και συ γνωσῃ, ότι ήδεα ταυτα εστιν. Αλλα και σε, φαναι τον Κυρον, ω παππε, μυσατλομενον ταυτα τα βρωματα όρω. Και τον Αστυαγην επερεσθαι, Και τινι r) δη συ τεκμαιρομενος, ω παι, λεγεις; Ότι σε, φαναι, όρω, όταν μεν τε αρτε άψῃ, εις εδεν την χειρα αποψωμενον, όταν δε τετων τινος θιγῃς, ευθυς αποκαθαιρεις την χειρα εις τα χειρομακτρα, ως πανυ αχθομενος, ότι καταπλεα σοι απ' αυτων εγενετο. Προς ταυτα δε τον Αστυαγην ειπειν, ει τοινυν ότω γιγνωσκεις, ω παι, αλλα

o) Του δειπνου εν Περσαις ειθισμενους, der Gen. des Comparat. als ein persisches Nachtmahl. p) συν ήμιν. q) περι πολλους έλιγμους, durch viele Umschweife. r) και επι τινι πραγματι etc.

κρεα s) γε ευωχω, ἱνα νεανιας οικαδε απελθῃς. Ἁμα δε ταυτα λεγοντα πολλα αυτῳ παραφερειν t) και θηρεια και των ἡμερων u).

Και τον Κυρον, επει ἑωρα πολλα τα κρεα, ειπειν, Η και διδως μοι, ω παππε, ταυτα παντα τα κρεα, ὁ, τι αν βωλωμαι, αυτοις χρησθαι w); Νη Δια, φαναι εγω σοι, ω παι. Ενταυθα δη τον Κυρον, λαβοντα των κρεων διαδιδοναι τοις αμφι τον παππον θεραπευταις, επιλεγοντα ἑκαστῳ, σοι μεν τωτο, ὁτι προθυμως με ἱππευειν διδασκεις· σοι δε, ὁτι μοι παλτον εδωκας, τωτο γαρ νυν εχω· σοι δε, ὁτι τον παππον καλως θεραπευεις· σοιδε, ὁτι μω την μητερα τιμᾳς. Τοιαυτα ποιειν, ἑως διεδιδω παντα, ὁ ἐλαβε, κρεα. Σακᾳ δε, φαναι τον Αστυαγην, τῳ οινοχοῳ, ὁν εγω μαλιστα τιμω, ωδεν διδως; Ὁ δε Σακας αρα καλος τε ων ετυγχανε, και τιμην εχων, προσαγειν τως δεομενως Αστυαγως, και αποκωλυειν, ὡς μη καιρος αυτῳ δοκοιη x) ειναι

s) Κρεα für κρεατα, laß dir das Fleiſch wohl ſchmecken. t) auch da wird λεγεται verſtanden. S. den Synt. von ἁμα. u) και θηρεια κρεατα, και κρεατα απο των ἡμερων ζωων. w) προς χρησθαι αυτοις εις παν, ὁ, τι αν etc. x) δοκοιη für δοκεοι attiſch.

ναι προσαγειν. Και τον Κυρον επερεσθαι προπε-
τως, ως αν παις μηδεπω υποπλησσων, Δια τι,
ω παππε, τυτον ὅτω τιμᾳς; Και τον Αστυα-
γην σκωψαντα ειπειν, Ουχ ὁρᾳς, φαναι y), ως
καλως οινοχοει και ευσχημονως; Οἱ δε των Βα-
σιλεων τυτων οινοχοοι κομψως τε οινοχουσι, και
καθαρεως εγχευσι, και διδοασι z) τοις τρισι
δακτυλοις οχουντες την Φιαλην, και προσφερυσιν,
ὡς αν ενδοιεν aa) το εκπωμα ευληπλοτατα τῳ
μελλοντι πινειν. Κελευσον δη, φαναι, ω παπ-
πε, τῳ Σακᾳ και εμοι δυναι το εκπωμα, ἱνα
καγω, καλως σοι πιειν εγχεας, ανακλησωμαι
σε, ην δυνωμαι. Και τον bb) κελευσαι δυναι.
Λαβοντα τε τον Κυρον ὅτω μεν ευ κλυσαι το
εκπωμα, ὡσπερ τον Σακαν ἑωρα, ὅτω δε στη-
σαντα το προσωπον cc), σπυδαιως και ευσχη-
μονως προσενεγκειν και ενδυναι την Φιαλην τῳ
παππῳ, ὡστε τῃ μητρι και τῳ Αστυαγει πο-
λυν γελωτα παρασχειν. Και αυτον δε τον Κυ-
ρον εκγελασαντα αναπηδησαι προς τον παππον,
και φιλεντα ἁμα ειπειν, ω Σακα, απολωλας

y) Φαναι ist hier, wie sonst öfter überflüßig.
z) διδοασι ionisch für διδουσι. aa) συγκοσμη für ενδοιησαν. b) και τον Αστυαγην. c) mit unveränderter Miene.

dd), εκβαλω σε της τιμης. Τα τε γαρ αλλα ee), Φαναι, σε καλλιον οινοχοησω, και σε εκπιομαι αυτος τον οινον. Οἱ γαρ των Βασιλεων οινοχοοι, επειδαν ενδιδωσι την Φιαλην, αρυσαντες απ' αυτης τῳ κυαθῳ εις την αριστεραν χειρα εγχεαμενοι καταρροφωσι, τε δη ff), ει Φαρμακα εγχεοιεν gg), μη λυσιτελειν αυτοις.

Εκ τουτου δη ὁ Αστυαγης επισκωπτων εφη, και τι δη, ω Κυρε, τα αλλα μιμουμενος τον Σακαν, ουκ απερροφησας του οινου; Ὁτι νη Δι', εφη, εδεδοικειν, μη εν τῳ κρατηρι Φαρμακα μεμιγμενα ειη. Και γαρ ὁτε εις τιας συ τους Φιλους εν τοις γενεθλιοις, σαφως κατεμαθον, Φαρμακα αυτον ὑμιν εγχεαντα. Και πως δη, εφη, συ, ω παι, τουτο κατεγνως, Ὁτι νη Δι', εφη, ὑμας ἑωρων και ταις γνωμαις και τοις σωμασι σφαλλομενους. Πρωτον μεν γαρ, ἁ ουκ εατε ἡμας τους παιδας ποιειν, ταυτα αυτοι επoιειτε. Παντες μεν γαρ ἁμα εκεκραγειτε, εμανθανετε δε ουδε ἑν hh) αλληλων· ἡδετε δε και μαλα γελοιως.

dd) Die attiſche Wiederholung der erſten Buchſtaben von απολλυω. ee) κατα τα αλλα ff) του δη μη λυσιτελειν ἑνεκα. gg) optat Atticus cum συγκοπη. hh) ουδε ἑν ρημα απ' αλληλων.

λοιως. Ουκ ακροωμενοι δε του ᾳδοντος, ωμνυετε ᾳδειν αριστα. Λεγων δε ἑκαστος ὑμων την ἑαυτου ρωμην, εωσει ανασταιητε ορχησομενοι, μη ὁσως ii) ορχεισθαι εν ρυθμῳ, αλλ' ουδ' ορθουσθαι εδυνασθε. Επιλελησθε δε ωαντασασι, συ τε, ὁτι Βασιλευς, οἱ τε αλλοι, ὁτι συ αρχων. Τοτε γαρ δη εγωγε και ωρωτον κατεμαθον, ὁτι τουτ' αρα ην ἡ ισηγορια kk), ὁ ὑμεις τοτε εωοιειτε· ουδεωοτε γουν εσιωωατε. Και ὁ Αστυαγης ειωεν, Ο' δε σος ωατηρ, ω ωαι, ωινων ου μεθυσκεται; Ου μα Δἰ, εφη. Αλλα ωως ωοιει; Διψων ωαυεται· αλλο δε κακον ουδεν ωασχει. Ου γαρ, οιμαι, ω ωαωωε, Σακας αυτῳ οινοχοει. Και ἡ μητηρ ειωεν. Αλλα τι ωοτε συ ω ωαι, ὁτω τῳ Σακᾳ ωολεμεις; τον δε Κυρον ειωειν, Ο'τι νη Δια, μισω αυτον. Πολλακις γαρ με ωρος τον ωαωωον εωιθυμουντα ωροσδραμειν, ουτος ὁ μιαρωτατος ωωοκωλυει. Αλλα ἱκετευω, ωαναι, ω ωαωωε, δος μοι τρεις ἡμερας αρξαι αυτου. Και τον Αστυαγην ειωειν, και ωως δη αν αρξαις αυτου; και τον Κυρον ωαναι, Στας αν, ωσωερ ουτος, εωι τη εισοδῳ, εωειτα ὁωοτε βουλοιτο εισιεναι εω' αριστον, λεγοιμ' αν.

ii) Nicht nur allein nicht ꝛc. kk) Gleiche Freyheit zu reden.

Ο'τι ουπω δυνατον τῳ αριστῳ εντυχειν· σπουδαζει γαρ προς τινας ll). Ειθ' ὁποταν ἡκῃ επι το δειπνον, λεγοιμ' αν, ὁτι λουται· ἑως παρατεινει, απο σου κωλυων. Τοιαυτας μεν αυτοις ευθυμιας παρειχεν επι τῳ δειπνῳ.

Τας δε ἡμερας mm) ει τινος αισθοιτο δεομενον η τον παππον, η τον της μητρος αδελφον χαλεπον ην, αλλον φθασαι, τουτο ποιησαντα· ὁ, τι γαρ δυναιτο ὁ Κυρος, ὑπερεχαιρεν, αυτοις χαριζομενος. Επειδη δε ἡ Μανδανη παρεσκευαζετο, ὡς απιουσα παλιν προς τον ανδρα, εδειτο αυτης ὁ Αστυαγης, καταλιπειν τον Κυρον ἡ τε απεκρινατο, ὁτι βουλοιτο μεν αν ἁπαντα τῳ πατρι χαριζεσθαι, ακοντα μεντοι τον παιδα, χαλεπον νομιζειν ειναι, καταλιπειν. Ενθα δη ὁ Αστυαγης λεγει προς τον Κυρον, ω παι, ην μενῃς παρ' εμοι, πρωτον μεν της παρ' εμε εισοδου σοι ου Σακας αρξει nn), αλλ' ὁποταν βουλῃ εισιεναι ὡς εμε, επι σοι εσται, και χαριν σοι,

ll) Er unterredet ſich mit einigen über wichtige Geſchäfte. mm) unter Tags. nn) über dein zu mir Kommen wird der Sakas nicht Herr ſeyn.

σοι, εφη, μαλλον εισομαι o), όσῳ αν πλεονα-
κις εισιης ὡς εμε. Επειτα δε ἱπποις τοις εμοις
χρησῃ, και αλλοις, όποσοις αν βȣλῃ. Και όταν
απιης, εχων απει, ὅς αν αυτος εθελης p). Επει-
τα δε εν τῳ δειπνῳ επι το μετριως σοι δοκȣν εχ-
ειν, όποιαν βȣλει, όδον πορευσῃ q). Επειτα
τα τε νυν εν τῳ παραδεισῳ θηρια διδωμι σοι. και
αλλα παντοδαπα συλλεξω, ἃ συ επειδαν τα-
χιστα ἱππευειν μαθης r), διωξῃ, και τοξευων
και ακοντιζων καταβαλεις, ὡσπερ οἱ μεγαλοι
ανδρες. Και παιδας δε σοι εγω συμπαικτορας
παρεξω, και αλλα, όσα αν βȣλῃ, λεγων προς
εμε s), ȣκ ατυχησεις.

Επει δε ταυτα ειπεν ὁ Αστυαγης, ἡ μη-
τηρ διηρωτα τον Κυρον, ποτερα βȣλοιτο, μενειν,
η απιεναι. Ὁ δε ȣκ εμελλησεν· αλλα ταχυ
ειπεν, ὁτι μενειν βȣλοιτο. Επερωτηθεις δε πα-
λιν ὑπο της μητρος, Δια τι; ειπειν λεγεται,

o) Ich werde dir desto mehr Dank wissen, ie öfter ꝛc. p) und wenn du fortgehen willst, sollst du haben, was du für eine verlangst. q) bey dem Tische, da du dafür halteſt, man müsse mäßig leben, magst du einen Weg einschlagen, was dir für einer beliebt. r) sobald du reiten wirst gelernet haben. s) wenn du es mir nur sagst.

ὁτι οιχοι μεν των ἡλιχων χαι ειμι, χαι δοχω χρα-
τιστος ειναι, ω μητερ, χαι τοξευων, χαι αχον-
τιζων· ενταυθα δε ευ οιδα ὁτι ἱππευων ἡττων ει-
μι των ἡλιχων. Και τυτο, ευ ισθι, εφη, ω μη-
τερ, ὁτι εμε πανυ ανιᾳ. Ην δε με καταλιπης
ενθαδε, χαι μαθω ἱππευειν, ὁταν μεν εν Περσαις
ω, οιμαι σοι t) εχεινυς τυς αγαθυς τα πεζικα u)
ῥᾳδιως νικησειν· ὁταν δε εις Μηδυς ελθω ενθαδε,
πειρασομαι τῳ παππῳ, αγαθων ἱππεων χρα-
τιστος ων, ἱππευς συμμαχειν w) αυτῳ. Την
δε μητερα ειπειν, την δε δικαιοσυνην, ω παι,
πως μαθησῃ ενθαδε, εχει οντων σοι των διδασ-
καλων; χαι τον Κυρον φαναι, Αλλ᾽, ω μητερ,
ακριβως ταυτην γε οιδα. Πως συ οισθα; ειπειν
την Μανδανην. Ὁτι, φαναι, ὁ διδασκαλος, με,
ὡς ηδη ακριβυντα x) την δικαιοσυνην, χαι αλλοις
χαθιστη δικαζειν. Και τοινυν, φαναι, επι μιᾳ
ποτε δικῃ πληγας ελαβον, ὡς υκ ορθως δικα-
σας. Ην δε ἡ δικη τοιαδε. Παις μεγας, μικρον
εχων χιτωνα, ἑτερον παιδα μικρον, μεγαν εχον-

τα

t) Σοι ist hier überflüßig, wie bey uns Deutschen dir; und auch im lateinischen tibi und mihi. u) κατα τα πεζικα, zu Fuß. w) τινι συμμαχειν, einem als Bundsgenoßner im Kriege zu Hilfe kommen. x) genau verstehen.

τα χιτωνα, εκδυσας αυτον, τον μεν ἑαυτῳ εκεινον ημφιεσε, τον δε εκεινῳ αυτος ενεδυ. Εγω γαν, ταυτοις δικαζων, εγνων, βελτιον ειναι αμφοτεροις τον ἁρμοζοντα ἑκατερον εχειν χιτωνα. Ενδε τουτῳ με επαισεν ὁ διδασκαλος λεγων, ὁτι, ὁποτε μεν καταστασειην του ἁρμοττοντος κριτης y), ὡτω δεοι ποιειν· ὁποτε δε κριναι δεοι, ὁποτερου ὁ χιτων ειη, τουτ', εφη, σκεπτεον ειναι, τις κτησις δικαια εστι· ποτερα τον βιᾳ αφελομενον εχειν, η τον ποιησαμενον η πριαμενον κεκτησθαι. Επειτα δε, εφη, το μεν νομιμον, δικαιον ειναι, το δε ανομον, βιαιον. Συν τῳ νομῳ ουν εκελευε δειν τον δικαστην την ψηφον τιθεσθαι z). Οὑτως εγω σοι, εφη, ω μητερ, τα γε δικαια, παντα πασιν οιδα ακριβως· ην δε τι αρα προσδεωμαι, ὁ παππος με, εφη, ὁυτος επιδιδαξει.

---

y) Wenn ich wäre beſtellet worden zu urtheilen, welcher Rock iedem beſſer anſtehe ꝛc. z) συν τῳ νομῳ την ψηφον τιθεσθαι, nach den Geſätzen urtheilen.

ΚΕΦΑΛΑΙΟΝ β.

Εις την Ιονικην διαλεκτον.

§. ά.

Εκ των του Ηρόδοτου περι παιδων αγωγης προς τους Αιγυπτιους.

Παιδευουσι δε τους παιδας, απο πενταετεος αρξαμενοι, μεχρι εικοσαετεος, τρια μουνα a) ἱππευειν, και τοξευειν, και αληθιζεσθαι. Πριν δε η πενταετης γενηται, ουκ απικνεεται ες b) οψιν τῳ πατρι, αλλα παρα τῃσι c) γυναιξι διαιταν εχει. Τουδε ἑινεκα d) τουτο ποιεεται, ἱνα ην αποθανῃ τρεφομενος, μεδεμιην e) ασην αηδη f) τῳ πατρι προσβαλλῃ. αινεω μεν νυν τονδε τον νομον· αινεω δε και τονδε, το μη μιης αιτιης g) ἑινεκα μητε αυτον τον βασιλεα μηδενα φονευειν, μητε των αλλων Περσεων μηδενα των ἐωϋ-

---

a) Μουνα für μονα. b) ες für εις, S. 2. Anh. §. 12. c) τῃσι für ταις. d) ἑινεκα für ἑνεκα, S. daſelbſt. e) μηδεμιην für μηδεμιαν. f) αηδη das neut. plur. von αηδης für das Subſtant. daß, wenn er während der Auferziehung ſterben ſoll, die Traurigkeit dem Vater ꝛc. g) μιης αιτιης für μιας αιτιας.

ἑωϋτου h) οικετεων επι μιη αιτιη ανηκεστον παθος ἑρδειν. Αλλα λογισαμενος ην ευρισκη πλεωτε και μεζω τα αδικηματα εοντα i) των ὑπουργηματων, ὁυτω τῳ θυμῳ χραται. Αποκτειναι δε ουδενα κω k) λεγουσι τον ἑωϋτου πατερα, η μητερα. Αλλα ὁκοσα ηδη τοιαυτα εγενετο, πασαν αναγκην Φασι l) αναζητεομενα ταυτα ανευρεθηναι ητοι ὑποβολιμαια εοντα, η μοιχιδια. Οὐ γαρ δη Φασι εικος ειναι τον γε αληθως τοκεα ὑπο του ἑωϋτου παιδος αποθνησκειν. Ὁκοσα δε σφι m) ποιεειν ουκ εξεστι, ταυτα ουδε λεγειν εξεστι. αισχιστον δε αυτοισι n) το ψευδεσθαι νενομισται. δευτερα δε, το οφειλειν χρεος. πολλων μεν και αλλων εινεκα, μαλιστα δε αναγ-

καιην

---

h) Ἑωϋτου für ἑαυτου; οικετεων für οικετων: ſo auch oben περσεων für περσων. i) ωλεωτε και μεζω τα αδικηματα εοντα für ωλειονα τε και μειζονα τα αδικηματα οντα, welches dann noch für ειναι geſetzet iſt. k) κω für ϖω; ſo auch ὁκοσα für ὁϖοσα. l) ϖασαν αναγκην Φασι, ſie ſagen, es ſey durchaus nothwendig, prorſus neceſſarium dicunt, vt, ſi ſollicite inquirantur iſta, aut ſubdititia deprehendantur, aut ſpuria. m) σφι für σφισι von ὁ anſtatt αυτος. n) αυτοισι für αυτοις.

καιὼν φασι ειναι, τον οφειλοντα, και τι ψευδος λεγειν.

§. β.

Εκ των του αυτου τουτου περι του Καμβυσου εκστρατευσαντος εις Αιγυπτον. κ. τ. λ.

Τελευτησαντος δε Κυρου, παρελαβε την βασιληϊην a) Καμβυσης, Κυρου εων b) παις και Κασσανδανης της Φαρνασπεω c) θυγατρος. Της προαποθανουσης, Κυρος αυτος τε πενθος μεγα επoιησατο, και τοισι αλλοισι d) προεπε πασι, των e) ηρχε, μεγα πενθος ποιεεσθαι. Ταυτης δε της γυναικος εων παις και Κυρου Καμβυσης, Ιωνας μεν και Αιολεας ως δουλους πατρωϊους εοντας ενομιζε επι δε Αιγυπτον επoιεετο στρατηλασιην, αλλους τε παραλαβων, των ηρχε, και δη και Ε'λληνας, των επεκρατεε.

Οι δε Αιγυπτιοι, πριν μεν η Ψαμμητιχον σφεων f) βασιλευσαι, ενομιζον ἑωυτους πρωτους γενεσθαι παντων ανθρωπων. επει δε Ψαμμητιχος βασι-

a) Βασιληϊην für βασιλειαν. b) εων für ων. c) Φαρνασπεω für Φαρνασπου. d) τοισι αλλοισι für τοις αλλοις. e) των für ὡν, S. 2. Anh. §. 36. n. 5. f) σφεων für σφων.

βασιλευσας ηθελησε ειδεναι, ὁιτινες γενοιατο g) πρωτοι, απο τουτου νομιζουσι Φρυγας προτερους γενεσθαι ἑωὑτων, των δε αλλων, ἑωὑτους. Ψαμμητιχος γαρ ὡς ουκ εδυνατο πυνθανομενος πορον ουδενα τουτου ανευρειν, ὁι γενοιατο πρωτοι ανθρωπων, επιτεχναται τοιονδε· παιδια δυο νεογνα ανθρωπων των επιτυχοντων διδοι h) ποιμενι τρεφειν ες τα ποιμνια τροφην τινα τοιηνδε. εντειλαμενος μηδενα αντιον αυτεων μηδεμιην Φωνην ιεναι, εν στεγῃ δε ερημῃ επ᾽ ἑωὑτων i) κεεσθαι αυτα, και την ὡρην k) επαγινεειν l) σφισι αιγας. Πλησαντα δε του γαλακτος, ταλλα διαπρησσεσθαι m). Ταυτα δ᾽ εποιεετο και ενετελλετο ὁ Ψαμμητιχος, θελων ακουσαι των παιδιων, απαλλαχθεντων των ασημων κνυζηματων, ἡντινα Φωνην ῥηξουσι πρωτην. ταπερ ων n) και εγενετο. ὡς γαρ διετης χρονος εγεγονεε o), ταυτα τῳ ποιμενι πρησσοντι, ανοιγοντι τε την θυρην, και

---

g) Εγενοιατο für εγενοιντο. h) διδοι für διδωσι, S. 2. Anh. §. 30. n. 2. i) επ᾽ ἑωὑτων, abgeſondert, S. 2. Anh. §. 12. k) την ὡρην für κατα την ὡραν, von Zeit zu Zeit, per interualla. l) επαγινεειν für επαγειν. m) διαπρησσεσθαι für διαπρασσεσθαι. n) ταπερ ων für ἁπερ αν. o) εγεγονεε für εγεγονει.

και εισιοντι, τα παιδια αμφοτερα προσπιπτοντα, βεκκος εφωνεον, ορεγοντα τας χειρας. Τα μεν δη πρωτα ακουσας, ήσυχος ην ὁ ποιμην. Ως δε πολλακι φοιτεοντι, και επιμελουμενω πολλον p) ην τουτο το επος, δυτω δη σημηνας τω δεσποτη, ηγαγε τα παιδια κελευσαντος ες οψιν την εκεινου. ακουσας δε και αυτος ὁ Ψαμμιτιχος, επυνθανετο δίτινες ανθρωπων βεκκος τι καλεουσι. πυνθανομενος δε, ευρισκε φρυγας καλεοντας τον αρτον. Ουτω συνεχωρησαν Αιγυπτιοι, και τοιουτω σταθμησαμενοι πρηγματι q), τους φρυγας πρεσβυτερους ειναι εωυτων. ωδε μεν γενεσθαι των ιρεων του Ηφαιστου εν Μεμφι ηκουον. Ελληνες δε λεγουσι αλλα τε ματαια πολλα, και ως γυναικων τας γλωσσας ὁ ψαμμητιχος εκταμων, την διαιταν δυτως εποιησατο r) των παιδιων παρα ταυτησι γυναιξι, κατα μεν δη την τροφην των παιδιων τοσαυτα ελεγον.

§. γ.

---

p) Πολλον für πολυ: frequens erat hoc vocabulum. q) πρηγματι für πραγματι. r) εποιησατο, daß er die Knaben von dieſen Weibern habe erziehen laſſen; S. von der Bedeutung des Verbi medii die Sprachl.

§. γ.

Περι των προς τες Αιγυπτιους συνηθειων.

Ερχομαι δε περι Αιγυπτου μηκυνεων a) τον λογον, ὁτι πλεω θωϋμασια b) εχει η αλλη πασα χωρη, και εργα λογου μεζω παρεχεται προς πασαν χωρην· τουτων εινεκα πλεω περι αυτης ειρησεται. Αιγυπτιοι ἁμα τῳ ουρανῳ κατα σφεας εοντι c) ἑτεροιῳ, και τῳ ποταμῳ φυσιν αλλοιην παρεχομενῳ η ὁι αλλοι ποταμοι, τω πολλα παντα εμπαλιν τοισι αλλοισι ανθρωποισι εστησαντο ηθεα τε και νομους. εν τοισι, ἁι μεν γυναικες αγοραζουσι και καπηλευουσι· ὁι δε ανδρες κατ' οικους εοντες, ὑφαινουσι· ὑφαινουσι ὁι μεν αλλοι ανω την κροκην ωθεοντες, Αιγυπτιοι δε κατω. Τα αχθεα ὁι μεν ανδρες επι των κεφαλεων φορεουσι· ἁι δε γυναικες, επι των ωμων. ευμαριη χρεωνται d) εν τοισι οικοισι, εσθιουσι δε εξω εν τῃσι ὁδοισι· ἐπιλεγοντες ὡς τα μεν αισχρα,

---

a) Μηκυνεων für μηκυνειν, ich komme nun auf die Aegyptier, von denen ich vieles zu sagen habe.
b) πλεω θωϋμασια für πλειονα θαυμασια.
c) τῳ θρανῳ κατα σφεας εοντι für κατα σφας οντι, ist der Dat. absolute pos. coelo apud ipsos alio existente. d) ευμαριη χρεωνται für ευμαρια χρωνται, bey den Joniern heißt ευμαριη, leuatio ventris.

αισχρα, αναγκαια δε, εν αποκρυφῳ εστι ποιεειν χρεων. τα δε μη αισχρα, αναφανδον. ἱρατα e) γυνη μεν ουδεμιη ϑτε ερσενος ϑεϑ, ϑτε ϑηλεης· ανδρες δε, παντων τε και πασεων. τρεφειν τϑς τοκεας τοισι μεν παισι ϑδεμιη αναγκη, μη βϑλομενοισι· τηισι δε ϑυγατρασι πασα αναγκη, και μη βϑλομενηισι· οἱ ἱρεες των ϑεων, τη μεν αλλη f) κομεϑσι, εν Αιγυπτῳ δε ξηρευνται. τοισι αλλοισι ανϑρωποισι νομος ἁμα κηδεϊ κεκαρϑαι τας κεφαλας, τϑς μαλιστα ἱκνεεται g). Αιγυπτιοι δε ὑπο τϑς ϑανατϑς ανιεισι τας τριχας αυξεσϑαι, τας τε εν τη κεφαλη και τῳ γενειῳ, τεως εξυρημενοι. τοισι μεν αλλοισι ανϑρωποισι χωρις ϑηριων διαιτα αποκεκριται, Αιγυπτιοισι δε ὁμϑ ϑηριοισι ἡ διαιτα εστι. απο πορεων και κριϑεων ὡλλοι h) ζωϑσι· Αιγυπτιων δε τῳ ποι-

ευμε-

---

e) Ἱρατα für ἱερατα, S. 2. Anh. §. 12. f) τη μεν αλλη für εν τη μεν αλλη χωρᾳ, alibi. g) κεκαρϑαι τας κεφαλας, τϑς μαλιστα ἱκνεεται für κεκαρϑαι κατα τας κεφαλας εκεινϑς, ϑς μαλιστα ἱκνεεται, daß ſich diejenigen die Köpfe ſcheeren lieſſen, die es am meiſten angieng. h) ὡλλοι für οἱ αλλοι, per contract. S. die Zugabe von den Figuren der Poeten bey dem Worte κρασις.

ευμενῳ i), απο τυτων την ζοην ονειδος μεγιστον εστι. αλλα απο ολυρεων ποιευνται σιτια, τας ζεας μετεξετεροι καλευσι. Φυρωσι το μεν σταις τοισι ποσι, τον δε πηλον τηϊσι χερσι. και την κοπρον αναιρεονται. τα αιδοια ὡ'λλοι μεν εωσι ὡς εγενοντο, πλην ὁσοι απο τυτων εμαθον· Αιγυπτιοι δε περιταμνονται k). ἑιματα l) των μεν ανδρων ἑκαστος εχει δυο· των δε γυναικων ἑν ἑκαστη. Των ἱστιων τυς κρικυς και τυς καλυς οἱ μεν αλλοι εξωθεν προσδευσι, Αιγυπτιοι δε, εσωθεν. γραμματα γραφυσι, και λογιζονται ψηφοισι Ε'λληνες μεν απο των αριστερων επι τα δεξια φεροντες την χειρα, Αιγυπτιοι δε απο των δεξιων επι τα αριστερα. και ποιευντες ταυτα, αυτοι μεν φασι επι τα δεξια ποιειν, Ε'λληνας δε επ' αριστερα. διφασιοισι δε γραμμασι χρεωνται. και τα μεν αυτων, ἱρα, τα δε δημοτικα καλεεται. Θεοσεβεες δε περισσως εοντες μαλιστα παντων ανθρωπων, νομοισι τοισιδε χρεωνται. εκ χαλκεων ποτηριων πινυσι, διασμεωντες ανα πα-

i) Ποιευμενῳ für ποιυμενῳ, S. 2. Anh. §. 11. ſo auch ποιευνται für ποιυνται, oder ποιεονται. k) περιταμνονται für περιτεμνονται. l) ἑιμα, ατος von ἑω, anziehen.

σαν ἡμερην m) ϑχ ὁ μεν, ὁδ' ϑ, αλλα παντες. ἑιματα δε λινεα Φορϑσι αιει νεοπλυτα, επιτηδευοντες τϑτο μαλιστα. Τα δε αιδοια περιταμνονται καϑαριοτητος ἑινεκεν, προτιμωντες καϑαροι ειναι η ευπρεπεστεροι. ὁι δε ἱρεες ξυρευνται παν το σωμα δια τριτης ἡμερης, ἱνα μητε Φϑειρ, μητε τι αλλο μυσαρον μηδεν εγγινηται σΦι ϑεραπευϑσι τϑς ϑεϑς. εσϑητα δε Φορεουσι ὁι ἱρεες λινεην μουνην, και ὑποδηματα βυβλινα. αλλην δε σΦι εσϑητα ουκ εξεστι λαβειν, ουδε ὑποδηματα αλλα. λουνται n) δε δις της ἡμερης ἑκαστης ὑδατι ψυχρῳ, και δις ἑκαστης νυκτος. αλλας τε ϑρησκειας μυριας επιτελεουσι, ὡς ειπειν λογῳ o). Πασχουσι δε και αγαϑα ουκ ολιγα. ουτε τι γαρ των οικηϊων τριβουσι, ουτε δαπανεωνται p), αλλα και σιτια σΦι εστι ἱρα q) πεσσομενα, και χηνεων και βοεων κρεων πληϑος τι ἑκαστῳ γινεται πολλον ἑκαστης ἡμερης. Διδοται δε σΦι και οινος αμπελινος. ιχϑυων δε ου σΦι εξεστι πασασ-

ϑαι.

---

m) Διασμεωντεσ ανα πασαν ἡμερην für διασμωντες αυτα κατα πασαν ἡμεραν. n) λουνται für λουονται. o) ὡς ειπειν λογῳ, vt sic dicam. p) οικηϊων, δαπανεωνται für οικειων, δαπανωνται. q) σΦι ἱρα für σΦισι ἱερα.

ϑαι. κυαμους δε ουτε τι μαλα σπειρουσι Αιγυπτιοι εν τη χωρη, τους γενομενους ουτε τρωγουσι, η ἑψοντες δατεονται. Οἱ δε δη ἱρεες, ουδε ὁρεωντες r) ανεχονται, νομιζοντες ου καϑαρον μιν s) ειναι οσπριον. ἱρανται δε ουκ εἰς ἑκαστου των ϑεων, αλλα πολλοι, των εἰς εστι αρχιερευς. επεαν δε τις αποϑανη, τουτου ὁ παις αντικατισταται.

§. 8.

Περι της των ϑεων αρχης.

Ο'ϑεν δε εγενετο ἑκαστος των ϑεων (ουτε κει ησαν παντες) ὁκοιοι τε τινες τα ειδεα a), ουκ ηπιστεατο μεχρι ὁυ πρωην b) τε και χϑες, ως ειπειν λογῳ. Η'σιοδον γαρ και Ο'μηρον ἡλικιην τετρακοσιοισι ετεσι δοκεω μευ πρεσβυτερους γενεσϑαι, και ου πλεοσι c). Οὑτοι δε εισι οἱ

r) Ο'ρεωντες für ὁρωντες, participium anſtatt des infin. s) μιν, Accuſ. poeticus für εκειvo αυτο.

a) Ο'κοιοι τε τινες τα ειδεα für ὁποιοι τε τινες κατα τα ειδεα. b) ηπιςεατο μεχρι ὁ πρωην etc. für επιςαντο mit dem augmento im Anfange, und dem ioniſchnn Ausgange, μεχρι προς τον χρονον, εϕ' ὁ ην πρωην τε και χϑες. c) ἡλικιην für καϑ' ἡλικιαν; μευ für μου; πλεοσι für πλειοσι.

ποιησαντες θεογονιην Ε'λλησι, και τοισι θεοισι τας επωνυμιας δοντες, και τιμας τε και τεχνας διελοντες, και ειδεα αυτων σημηναντες. Οι δε προτερον ποιηται λεγομενοι τουτων των ανδρων γενεσθαι, υστερον, εμοι δοκεειν d), εγενοντο τουτων.

Ει αληθεως δι Φοινικες εξηγαγον τας ιρας γυναικας, και την μεν αυτεων ες λιβυην, την δε ες την Ε'λλαδα επεδοντο, δοκεει εμοι ή γυνη αυτη της νυν Ε'λλαδος, προτερον δε πελασγιης καλλευμενης της αυτης ταυτης, πριθηναι ες e) θεσπρωτους. επειτα δουλευουσα αυτοθι, ιδρυσασθαι υπο φηγῳ πεφυκυιη Διος ιρον.

§. ε.

Περι της διαιτης, και των συμποσιων προς τους Αιγυπτιους.

Αυτων δε δη Αιγυπτιων δι μεν περι την σπειρομενην Αιγυπτον οικεουσι, μνημην ανθρωπων παντων επασκεοντες, μαλιστα λογιωτατοι εισι μακρῳ των εγω ες διαπειραν απικομην. Τροπῳ δε ζοης τοιῳδε διαχρεωνται· Συρμαϊζουσι

τρεις

d) Εμοι δοκεειν - κατα το εμοι δοκειν. e) πριθηναι ες für πραθηναι εις.

τρεις ἡμερας επεξης a) μηνος ἑκαστου, εμετοισι Θηρωμενοι την ὑγιϊην b) και κλυσμασι, νομιζοντες απο των τρεφοντων σιτιων πασας τας νουσους τοισι ανθρωποισι γινεσθαι. Εισι μεν γαρ και αλλως Αιγυπτιοι μετα λιβυας ὑγιεστατοι παντων ανδρων, των ὡρεων c) (εμοι δοκεειν) ἑινεκεν, ὁτι ου μεταλλασσουσι αἱ ὡραι. Εν γαρ τῃσι μεταβολῃσι τοισι ανθρωποισι αἱ νουσοι μαλιστα γινονται, των τε αλλων ἑινεκα παντων, και δη και των ὡρεων μαλιστα. Αρτοφαγεουσι δε εκ των ολυρεων ποιευντες αρτους, τους εκεινοι κολλῃστις ονομαζουσι, οινῳ δ' εκ κριθεων πεποιημενῳ διαχρεωνται, ου γαρ σφι εισι εν τῃ χωρῃ αμπελοι. Ιχθυων δε τους μεν, προς ἡλιον αυῃναντες, ωμους σιτεονται, τους δ' εξ ἁλμης τεταριχευκοτες. Ορνιθων δε τους τε ορτυγας, και τας νησσας, και τα μικρα των ορνιθιων ωμα σιτεονται, προταριχευσαντες. τα δε αλλα ὁσα η ορνιθων η ιχθυων εστι σφι εχομενα d), χωρις η ὁκοσοι σφι ἱροι αποδεδεχατε e) τους λοιπους

